Εἰσάκουσον κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα,
ἐλέησόν με, καὶ εἰσάκουσόν μου.
Σοὶ εἶπεν ἡ καρδία μου, κύριον ζητήσω,
ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν
σου κύριε ζητήσω.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.
Βοηθός μου γενοῦ μὴ ἀποσκορακίσῃς με,
καὶ μὴ ἐγκαταλίπῃς με ὁ θεὸς ὁ σωτήρ μου.
Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέ-
λιπόν με, ὁ δὲ κύριος προσελάβετό με.
Νομοθέτησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ
ὁδήγησόν με ἐν τρίβῳ εὐθείας ἕνεκα τῶν
ἐχθρῶν μου.
Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με,
ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι,
καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν
γῇ ζώντων.
Ὑπόμεινον τὸν κύριον, ἀνδρίζου καὶ κρα-
ταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον
τὸν κύριον. Δόξα.

http://digital.slub-dresden.de/ppn346241804/64